DAS GOTT ERHALTE

GRIECHISCH UND LATEINISCH.

Ὦ θεὸς οὐρανόθεν μεδέων, σῶσόν τε φύλαξόν θ'
ἡμετέρην γαίην καίσαρά θ' ἡμέτερον.
τῆς ὀρθῆς δόξης ὑπερείσμασιν ἰσχυρωθείς
ἡμᾶς οὗτος ἀεὶ χερσὶ σοφαῖς ἀγάγοι.
γενναίως τε καὶ ἀνδρείως διαδήματι πατρῶν
αὐτοῦ ἀμύνωμεν ὅστις ἂν ἐχθρὸς ἔῃ,
αἰεὶ δ' Ἀψβούργων μεγάλων τὸ στέμμα κλεεννόν
εὐθύνοι πότμον τῆς χθονὸς Αὐστριακῆς.

Εὐσεβέοντες, ἀληθευταί, χρηστοί θ' ἁπλόοι τε
σῴζωμεν τὸ θέον καὶ τὸ θέλημα δίκης.
κἂν χρῇ, γενναίως χἠμεῖς εὐελπίδες ὄντες
ἴομεν ἐχθροῖσιν ἀντιμαχησόμενοι.
εἰδότες, ἡμέτερος πόσσους στρατὸς εἵλετο δάφνης
αὐτοκτήτους καὶ αὐτοπλεκεῖς στεφάνους,
καίσαρι χρήμαθ' ἅπαντα χαριζώμεσθα βίους τε
σοί τε, πατρῴα γῆ, χρήματα, σοί τε βίους.

Ὅσσαπερ ἡ σπουδὴ ξυμπέπραχεν πολιητῶν,
πάντ' ἀδόλως κατέχοι ἷς κρατεροῖο στρατοῦ,
νικήσειε θ' ὅμως τὰ μαθήματα τεχνοσύναι τε
χρώμεναι εὐστοχίης λαμπετόωσιν ὅπλοις.
ὄλβος τῇ γαίῃ θεόθεν πεπρωμένος εἴη,
ἀντίπαλος τ' εἴη ὄλβῳ εὔκλεΐῃ,
ὥστε τὸν ἥλιον ἂν λεύσσειν ἀκτῖσι φαεννοῖς
γῆς εἰρηνούσης εἰς εὔδαιμονίην.

Ἀλλήλοις παραμίμνωμεν σταθερώτατα πάντες·
παῖς γὰρ ὁμοφροσύνης ἡ δύναμις γέγονεν.
τὰ σθένε' ἂν συνάγηται, ἀπεργασθήσεται αἰεί
ραϊδίως καὶ τὰ δυσκαταπρακτότατα.
ὥςπερ ἀδελφειοὶ ζευχθέντες, ὁμοφρονέοντες
τέρματος ἀντῶμεν ἴσου ἐφιέμενοι.
εὐοῖ καίσαρι νῦν, εὐοῖ χθονὶ τῇδε πατρῴῃ·
Αὐστριακῶν ἀρχὴ ἔσται ἐς ἀΐδιον.

Universitäts- und
Landesbibliothek Düsseldorf

O deus in caelis, salua seruaque, precamur,
uitam Caesaris ac dulce solum patriae!
pollens atque potens fidei munimine sacrae
nos ducat sapiens ille regatque manu;
nos uero semper clarum diadema parentum
hostes contra omnes protueamur ei,
firmiter ut coniuncta throno sceptroque potenti
Habsburgi maneant, Austria, fata tua.

Simpliciterque animisque piis uereque et aperte
ius defensemus officiique fidem,
ut, si fors tulerit, fera moenera militiai
speribus expleti suscipiant animi,
ut memores, victor quotiens exercitus ipse
iam circumdederit laurea serta comis,
„res omnes uitasque tibi, Caesar!“ uocitemus,
„res uitasque tibi, dulce solum patriae!“

Protulerit quas diuitias industria ciui,
protegat armati militis aerea uis,
instructae simul ingenii lucentibus armis
artes cum studiis flore pari uigeant!
Sit terrae concessa salus diuinitus alma,
sitque saluti illi gloria par et honos,
pacatam terram ut cernens super arua dei sol
rideat Austriaca perpetuoque nitens.

Firmiter inter nos coniuncti permaneamus;
Tu, concordia, opes omnibus unica alis.
VIRIBVS VNITIS opera facili omnia fient,
quae dubitans animus posse negat fieri.
Conque catenati uinclis fratres ut amoris
una tendamus propositumque ad idem:
Salueto Caesar, salueto terra paterna,
Austria, Erisque In toto Orbe uel Vltima tu.

I. M. Stowasser.

Universitäts- und
Landesbibliothek Düsseldorf